# Παρακλητικός Κανών στην Αγία Αναστασία τη Ρωμαία



Ο Ιερεύς: Ευλογητός ο Θεός ημών πάντοτε, νυν και αεί και εις τους αιώνας των αιώνων.

Ο Αναγνώστης: Αμήν.

**Ψαλμός ρμβ´ (142)**

Κύριε, εισάκουσον της προσευχής μου, ενώτισαι την δέησίν μου εν τη αληθεία σου, εισάκουσόν μου εν τη δικαιοσύνη σου• και μη εισέλθης εις κρίσιν μετά του δούλου σου, ότι ου δικαιωθήσεται ενώπιόν σου πας ζων. ότι κατεδίωξεν ο εχθρός την ψυχήν μου, εταπείνωσεν εις γην την ζωήν μου, εκάθισε με εν σκοτεινοίς ως νεκρούς αιώνος και ηκηδίασεν επ εμέ το πνεύμά μου, εν εμοί εταράχθη η καρδία μου. Εμνήσθην ημερών αρχαίων, εμελέτησα εν πάσι τοις έργοις σου, εν ποιήμασι των χειρών σου εμελέτων. Διεπέτασα προς σε τας χείράς μου, η ψυχή μου ως γη άνυδρος σοι.

Ταχύ εισάκουσόν μου, Κύριε, εξέλιπε το πνεύμά μου μη αποστρέψης το πρόσωπόν σου απ εμού, και ομοιωθήσομαι τοις καταβαίνουσιν εις λάκκον. ακουστόν ποίησον μοι το πρωί το έλεός σου, ότι επί σοι ήλπισα• γνώρισον μοι, Κύριε, οδόν, εν η πορεύσομαι, ότι προς σε ήρα την ψυχήν μου• εξελού με εκ των εχθρών μου, Κύριε, ότι προς σε κατέφυγον. δίδαξον με του ποιείν το θέλημά σου, ότι συ ει ο Θεός μου• το πνεύμά σου το αγαθόν οδηγήσει με εν γη ευθεία.

Ένεκεν του ονόματός σου, Κύριε, ζήσεις με, εν τη δικαιοσύνη σου εξάξεις εκ θλίψεως την ψυχήν μου και εν τω ελέει σου εξολοθρεύσεις τους εχθρούς μου και απολείς πάντας τους θλίβοντας την ψυχήν μου, ότι εγώ δούλός σου ειμι.

Θεός Κύριος, και επέφανεν ημίν, ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.
Στίχος α . Εξομολογείσθε τω Κυρίω, και επικαλείσθε το όνομα το άγιον αυτού.
Θεός Κύριος, και επέφανεν ημίν, ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.
Στίχος β . Πάντα τα έθνη εκύκλωσαν με, και τω ονόματι Κυρίου ημυνάμην αυτούς.
Θεός Κύριος, και επέφανεν ημίν, ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.
Στίχος γ . Παρά Κυρίου εγένετο αύτη, και έστι θαυμαστή εν οφθαλμοίς ημών.
Θεός Κύριος, και επέφανεν ημίν, ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου.

*Παρακλητικός Κανών Αγίας Αναστασίας της Ρωμαίας συνέχεια...*

**Είτα τα παρόντα Τροπάρια.**
**Ήχος δ΄. Ο υψωθείς εν τω Σταυρώ.**

Υπ΄ αμετρήτων αναγκών και κακώσεων, και αφορήτων πειρασμών οι στενούμενοι,εν μετανοία σπεύσωμεν, βοώντες θερμώς• Μάρτυς αξιάγαστε, αθληφόρε Κυρίου, σπεύσον έξανάστησον, εκ παθών ημάς πάντας, εξαιτουμένους την σήν αρωγήν, Αναστασία, της Ρώμης το βλάστημα.

Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.
Και νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.

Θεοτοκίον.
Ου σιωπήσομεν πότε, Θεοτόκε, τα, δυναστείας σου λαλείν οι αναξιοι• ει μη γαρ συ προίστασο πρεσβεύουσα, τις ημάς ερρύσατο εκ τοσούτων κινδύνων; Τις δε διεφύλαξεν έως νυν ελευθέρους; Ουκ αποστώμεν, Δέσποινα, εκ σου• σους γαρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

**Ψαλμός ν΄ (50)**

Ελέησον με, ο Θεός, κατά το μέγα έλεός σου και κατά το πλήθος των οικτιρμών σου εξάλειψον το ανόμημα μου•επί πλείον πλύνον με από της ανομίας μου και από της αμαρτίας μου καθάρισον με. Ότι την ανομίαν μου εγώ γινώσκω, και η αμαρτία μου ενώπιόν μου εστι διαπαντός. Σοι μόνω ήμαρτον και το πονηρόν ενώπιόν σου εποίησα, όπως αν δικαιωθής εν τοις λόγοις σου, και νικήσης εν τω κρίνεσθαι σε. Ιδού γαρ εν ανομίαις συνελήφθην, και εν αμαρτίαις

εκίσσησε με η μήτηρ μου. Ιδού γαρ αλήθειαν ηγάπησας, τα άδηλα και τα κρύφια της σοφίας σου εδήλωσας μοι. Ραντιείς με υσσώπω, και καθαρισθήσομαι, πλυνείς με, και υπέρ χιόνα λευκανθήσομαι. Ακουτιείς μοι αγαλλίασιν και ευφροσύνην, αγαλλιάσονται οστέα τεταπεινωμένα. Αποστρεψον το πρόσωπόν σου από των αμαρτιών μου και πάσας τας ανομίας μου εξάλειψον.

Καρδίαν καθαράν κτίσον εν εμοί, ο Θεός, και πνεύμα ευθές εγκαίνισον εν τοις εγκάτοις μου. Μη απορρίψης με από του προσώπου σου και το πνεύμά σου το άγιον μη αντανέλης απ εμού. Απόδος μοι την αγαλλίασιν του σωτηρίου σου και πνεύματι ηγεμονικώ στήριξον με. Διδάξω ανόμους τας οδούς σου, και ασεβείς επί σε επιστρέψουσι. Ρύσαι με εξ αιμάτων ο Θεός, ο Θεός της σωτηρίας μου•αγαλλιάσεται η γλώσσά μου την δικαιοσύνην σου. Κύριε, τα χείλη μου ανοίξεις, και το στόμα μου αναγγελεί την αίνεσίν σου. Ότι ει ηθέλησας θυσίαν, έδωκα αν•ολοκαυτώματα ουκ ευδοκήσεις. Θυσία τω Θεώ πνεύμα συντετριμμένον, καρδίαν συντετριμμένην και τεταπεινωμένην ο Θεός ουκ εξουδενώσει. Αγάθυνον, Κύριε, εν τη ευδοκία σου την Σιών, και οικοδομηθήτω τα τείχη Ιερουσαλήμ• τότε ευδοκήσεις θυσίαν δικαιοσύνης, αναφοράν και ολοκαυτώματα• τότε ανοίσουσιν επί το θυσιαστήριον σου μόσχους.

**Ωδή α΄. Ήχος πλ. δ΄. Υγράν διοδεύσας.**

Αγία του Θεού πρέσβευε υπέρ ημών.
Δειναίς χειμαζόμενος προσβολαίς, προς σε ανατρέχω, εκζητών την αναψυχήν ώ μάρτυς Χριστού Αναστασία, εξ ομιχλώδους θυέλλης με λύτρωσαι.
Αγία του Θεού πρέσβευε υπέρ ημών.
Ιάσεων χάριν παντοδαπών, και δύναμιν πάσαν, διασώζειν εκ συμφορών, λαθούσα Σεμνή παρά Κυρίου, εκ της διττής ασθενείας με ίασαι.
Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.
Αρρήτων χαρίτων και δωρεών, τυχείν ηξιώθης, εκ χειρός παγκρατορικής• διο εκ της πλάνης καί του δόλου, του Αρχεκάκου ταχύ με εξάρπασον.
Και νυν και αεί και εις τους αιώνας των αιώνων.
Σωτήρα τεκούσα και ποιητήν, Ανύμφευτε Νύμφη, υπερήρθης των ουρανών διο δυσωπώ σε των παγίδων, και των του κόσμου κακών με απάλλαξον.

**Ωδή γ΄. Ουρανίας αψίδος.**

Αγία του Θεού πρέσβευε υπέρ ημών.
Ως θερμήν προστασίαν, και ακλινή πρόμαχον, ως καταφυγήν των νοσούντων και επανόρθωσιν, αεί τιμώντές σε, Αναστασία παρθένε, νυν επικαλούμεθα την

σήν αντίληψιν.
Αγία του Θεού πρέσβευε υπέρ ημών.
Συ εδέξω Αγία, προ του σεπτού τέλους σου, άνωθεν φωνήν βεβαιούσαν, σοι το αιτούμενον, το θεραπεύειν δη, παντοίας νόσους πασχόντων, όθεν νυν ενέργησον το εν σοι χάρισμα.
Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.
Ομηγύρεις αζύγων, αθωνικόν σύστημα, και πληθύς πιστών εκ περάτων, πάντες προστρέχουσιν, ως ανυμνήσοντες εν τη Μονή Γρηγορίου, τα λαμπρά σου θαύματα και αγωνίσματα.
Και νυν και αεί και εις τους αιώνας των αιώνων.
Νοσημάτων ποικίλων, και πειρασμών έφοδος, και αλλεπαλλήλων κυμάτων, μέγα κλυδώνιον, αναχαιτίζεται, ταις κραταιαίς μεσιτείαις, και ταις παρακλήσεσι της θεομήτορος.

Διάσωσον, οσιομάρτυς παρθένε Αναστασία, τους σους δούλους εκ συμφορών, παθών τε και θλίψεων, ως άληκτος κρήνη των Ιαμάτων.
Επίβλεψον, εν ευμενεία Πανύμνητε Θεοτόκε, επί την εμήν χαλεπήν του σώματος κάκωσιν, και ίασαι της ψυχής μου το άλγος.

Είτα μνημονεύει ο ιερεύς, δι΄ ους η Παράκλησις γίνεται• και ημείς ψάλλομεν το Κύριε ελέησον, ιε΄. Μετά δε την εκφώνησιν, το επόμενον.

### Κάθισμα. Ήχος β΄. Τα άνω ζητών.

Πηγή δωρεών, υγείαν αναβρύουσα, αιτία καλών, ψυχών θεραπευτήριος, συμπαθώς επίβλεψον Αναστασία τοις ικέταις σου, σαις μεσιτείαις άγουσα ημάς, εις θείον νυμφώνα καθαρότητας.

### Ωδή δ΄. Εισακήκοα Κύριε.

Αγία του Θεού πρέσβευε υπέρ ημών.
Μεγαλύνω τα πάθη σου, άπερ καθυπέστης δια τον Κύριον εξανάστησόν με δέομαι, Μάρτυς Αναστάσεως επώνυμε.
Αγία του Θεού πρέσβευε υπέρ ημών.
Επανέγειρον Πάνσεμνε, κλίνης οδυνών μου πίκρας τε θλίψεως, κατευθύνουσα τον βίον μου, εκ της ακηδίας προς τα κρείττονα.
Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.
Οιδημάτων νοσήματα, ψύξεις, αιματώσεις, κήλαι, εγκαύματα, ασθενούντων δεομένων σου, τη ση επικλήσει θεραπεύονται.

Και νυν και αεί και εις τους αιώνας των αιώνων.
Συμμαχία υπέρμαχος, σύμπονος και σύμπλους τώδε τω βίω μου, συνεργός και συνεπίκουρος, στήθί μοι Μαρία Αειπάρθενε.

**Ωδή ε΄. Φώτισον ημάς.**

Αγία του Θεού πρέσβευε υπέρ ημών.
Ίλιγγος δεινός, πυρετός, καρδιοπάθεια, νοσώδεις και λοιμώδεις επιφοραί, τη ση πρόνοια, Αθληφόρε απελαύνονται.
Αγία του Θεού πρέσβευε υπέρ ημών.
Όγκοι φοβεροί, λευχαιμία, νεφροπάθεια, αιμορραγίαι, αρθρίτις και πληγαί, τη ση φροντίδι και αγάπη θεραπεύονται.
Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.
Μόλυνσις ψυχής, τη μολύνσει νου και σώματος, συνήλθε εν εμοί τω ρυπαρώ Αναστασία, σαις λιταίς όλον με κάθαρον.
Και νυν και αεί και εις τους αιώνας των αιώνων.
Άγνισον Αγνή, λεπρωθείσαν την καρδίαν μου, τω πλήθει των αμέτρων μου κακιών, οδοποιούσα, προς το φως της Αναστάσεως.

**Ωδή στ΄. Την δέησιν.**

Αγία του Θεού πρέσβευε υπέρ ημών.
Ρωννύμενος, εκ πολλών κακώσεων, και αλλόμενος ως έλαφος ψάλλω, ανευφημών ποσαπλώς σους αγώνας, και ανυμνών σα λαμπρά κατορθώματα, προσπίπτω δε και προσκυνώ, την παμπόθητον θείαν εικόνα σου.
Αγία του Θεού πρέσβευε υπέρ ημών.
Το σώμα σου, ηξιώθης Πάνσεμνε, τω Νυμφίω παραστήσαι θυσίαν, και δι΄ ελαίου φρονίμων παρθένων, συνεισελθείν εις νυμφώνα ουράνιον, κακείθεν οία συμπαθής, καταπέμπειν αφθόνως δωρήματα.
Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.
Υπήκοος, έως τέλους γέγονας, τη σεμνή σου διδασκάλω Σοφία ουκ εδειλίασας γαρ τους τυράννους, και το δριμύ των βασάνων υπήνεγκας• διο απείληφας τρανώς, τον της δόξης αμάραντον στέφανον.
Και νυν και αεί και εις τους αιώνας των αιώνων.
Συνέλαβες, απορρήτως Δέσποινα, τον του κόσμου συνοχέα και Κτίστην, αποκυήσασα τούτον αφράστως, και μετά τόκον ως πριν διαμείνασα διο τιμώμεν ευλαβώς, σε την μόνην Αγνήν Αειπάρθενον.

Διάσωσον, οσιομάρτυς παρθένε Αναστασία, τους σους δούλους εκ συμφορών,

παθών τε και θλίψεων, ως άληκτος κρήνη των ιαμάτων.
Άχραντε η δια λόγου τον Λόγον ανερμηνεύτως, επ’ εσχάτων των ημερών τεκούσα δυσώπησον, ως έχουσα μητρικήν παρρησίαν.

**Είτα μνημονεύει ο ιερεύς, ως δεδήλωται. Μετά δε την εκφώνησιν, το Κοντάκιον.**
**Ήχος β΄. Προστασία των Χριστιανών.**

Προστασία των χειμαζόμενων ακράδαντε, ικεσία προς τον Πλαστουργόν αμετάσειστε, μη βραδύνης ανενεγκείν θεώ λιτάς ημών, αλλά πλήρωσον ως συμπαθής, το δεδομένον εξ Αυτού, τοις πιστώς ευφημούσι σε τάχυνον εν ανάγκη, και σπεύσον προς θεραπείαν, η ιατρεύουσα ημάς, Αναστάσεως φερώνυμε.

**Το Προκείμενον.**

Υπομένων υπέμεινα τον Κύριον και προσέσχε μοι, και εισήκουσε της δεήσεώς μου.

Στίχ: Και έστησεν επί πέτραν τους πόδας μου, και κατηύθυνε τα διαβήματά μου.

**Ευαγγέλιον.**
**Εκ του κατά Ματθαίον. Κεφ. Κε΄, 1-13.**

Είπεν ο Κύριος την παραβολήν ταύτην, ωμοιώθη η βασιλεία των ουρανών δέκα παρθένοις, αίτινες λαβούσαι τας λαμπάδας αυτών, εξήλθον εις απάντησιν του Νυμφίου. Πέντε δε ήσαν εξ αυτών φρόνιμοι και αι πέντε μωραί. Αίτινες μωραί λαβούσαι τας λαμπάδας εαυτών, ουκ έλαβον μεθ’ εαυτών έλαιον αι δε φρόνιμοι έλαβον έλαιον εν τοις αγγείοις αυτών μετά των λαμπάδων αυτών. Χρονίζοντος δε του Νυμφίου ενύσταξαν πάσαι και εκάθευδον.

Μέσης δε νυκτός κραυγή γέγονεν ιδού ο Νυμφίος έρχεται, εξέρχεσθε εις απάντησιν αυτού. Τότε ηγέρθησαν πάσαι αι παρθένοι εκείναι και εκόσμησαν τας λαμπάδας αυτών. Αι δε μωραί ταις φρονίμοις είπον δότε ημίν εκ του ελαίου υμών, ότι αι λαμπάδες ημών σβέννυνται. Απεκρίθησαν δε αι φρόνιμοι λέγουσαι• μήποτε ουκ αρκέσει ημίν και υμίν πορεύεσθε δε μάλλον προς τους πωλούντας και αγοράσατε εαυταίς. Απερχομένων δε αυτών αγοράσαι, ήλθεν ο Νυμφίος, και αι έτοιμοι εισήλθον μετ’ αυτού εις τους γάμους, και εκλείσθη η θύρα. Ύστερον δε έρχονται και αι λοιπαί παρθένοι λέγουσαι• Κύριε, Κύριε, άνοιξον ημίν. Ο δε αποκριθείς είπεν αμήν λέγω υμίν, ουκ οίδα υμάς. Γρηγορείτε ουν, ότι

ουκ οίδατε την ημέραν ουδέ την ώραν, εν η ο Υιός του ανθρώπου έρχεται.

*Παρακλητικός Κανών Αγίας Αναστασίας της Ρωμαίας συνέχεια...*

**Ήχος β΄.**
**Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.**

Ταις της Αθληφόρου, πρεσβείαις Ελεήμον, εξάλειψον τα πλήθη, των εμών εγκλημάτων.
Και νυν και αεί και εις τους αιώνας των αιώνων.
Ταις της Θεοτόκου, πρεσβείαις Ελεήμον, εξάλειψον τα πλήθη, των εμών εγκλημάτων.

Στίχ: Ελέησόν με ο Θεός κατά το μέγα έλεός σου, και κατά το πλήθος των οικτιρμών σου εξάλειψον το ανόμημά μου.

**Ήχος πλ. β΄. Όλην αποθέμενοι.**

Όλη ει πλησίον μου, περικαλλής και ωραία, μωμός σοι ουκ ένεστι, λέγει σοι ο Κύριος, Οσιόαθλε άσπιλον κόσμον γαρ, περιβεβλημένη, πάρει νυν εκ δεξιών αυτού, πεποικιλμένη δε, τα τροπαιοφόρα μαρτύρια ταύτα δη ταύτα πρότεινον, άπερ δι΄ Αυτόν καθυπέμεινας, όπως εξιλάση Αυτόν κινούσα σπλάγχνα οικτιρμών, του συγχωρήσαι και σώσαι με, όταν μέλλω κρίνεσθαι.

**Ο Ιερεύς:**

Σώσον ο Θεός τον λαόν σου και ευλόγησον την κληρονομίαν σου• επισκεψαι τον κόσμον σου εν ελέει και οικτιρμοίς. Υψωσον κέρας Χριστιανών ορθοδόξων και καταπεμψον εφ’ ημάς τα ελέη σου τα πλούσια• πρεσβείαις της παναχράντου Δεσποίνης ημών Θεοτόκου και Αειπαρθένου Μαρίας• δυνάμει του Τιμίου και Ζωοποιού Σταυρού• προστασίαις των τιμίων επουρανίων Δυνάμεων Ασωμάτων• ικεσίαις του Τιμίου και Ενδόξου Προφήτου, Προδρόμου και Βαπτιστού Ιωάννου• των αγίων ενδόξων και πανευφήμων Αποστόλων• ων εν Αγίοις Πατέρων ημών, μεγάλων ιεραρχών και οικουμενικών διδασκάλων Βασιλείου του Μεγάλου, Γρηγορίου του Θεολόγου και Ιωάννου του Χρυσοστόμου, Αθανασίου και Κυρίλλου, Ιωάννου του Ελεήμμονος, πατριαρχών Αλεξανδρείας. Νικολάου του εν Μύροις, Σπυρίδωνος επισκόπου Τριμυθούντος, των Θαυματουργών•

των αγίων ενδόξων μεγαλομαρτύρων Γεωργίου του Τροπαιοφόρου, Δημητρίου του Μυροβλήτου, Θεοδώρων Τύρωνος και Στρατηλάτου, των ιερομαρτύρων

Χαραλάμπους και Ελευθερίου, των αγίων ενδόξων και καλλινίκων Μαρτύρων. Των οσίων και θεοφόρων Πατέρων ημών. Των αγίων και δικαίων θεοπατόρων Ιωακείμ και ’Αννης. Του αγίου ....... (της ημέρας), και πάντων σου των Αγίων. Ικετεύομεν σε, μόνε πολυέλεε Κύριε. Επάκουσον ημών των αμαρτωλών δεομένων σου και ελέησον ημάς.

Κύριε ελέησον (12 φορές)

**Ωδή ζ΄. Οι εκ της Ιουδαίας.**

Αγία του Θεού πρέσβευε υπέρ ημών.
Ανεγείρεις πεσόντας, νουθετείς τους πιστούς, και νευροίς τους κάμνοντας, υψοίς ημών το κέρας, ευφραίνεις τους υμνούντας, εκ καρδίας και μέλποντας• ο των Πατέρων ημών, Θεός ευλογητός ει.
Αγία του Θεού πρέσβευε υπέρ ημών.
Νοεραίς ταις ακτίσιν, ελαμπρύνθης Παμμάκαρ ψυχή και σώματι• διο η μυροθήκη, των θείων σου λειψάνων, θεραπεύει τους ψάλλοντας• ο των Πατέρων ημών, Θεός ευλογητός ει.
Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.
Αγαπώσα τον Κτίστην, την διττήν εντολήν Μάρτυς εξεπλήρωσας, επεί και τον πλησίον, ηγάπησας ως έδει, εν τη πράξει διδάσκουσα ο των Πατέρων Θεός, όντως εστίν Αγάπη.
Και νυν και αεί και εις τους αιώνας των αιώνων.
Στάμνος όντως εφάνης, συλλαβούσα Χριστόν μάννα το ουράνιον, και τούτον εκτεκούσα, τροφήν αθανασίας, και τρυφήν ημών άρρητον, τον των Πατέρων ημών, Θεόν ευλογημένον.

**Ωδή η΄. Τον βασιλέα.**

Αγία του Θεού πρέσβευε υπέρ ημών.
Τις με χωρίσει, από αγάπης Κυρίου; ου λιμός, ου γυμνότης, ου θλίψις• Αυτώ ποθώ συνείναι, έφης εις τους αιώνας.
Αγία του Θεού πρέσβευε υπέρ ημών.
Ανακουφίζεις, παραμυθείς ασθενούντας, αναψύχεις καταπονουμένους• πάντα δρας εις δόξαν, Χριστού του αναστάντος.
Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.
Συμπαθέστατη και φιλανθρώπω προνοία, συμπαρίστασαι τοις ενδεέσι, και ευγνωμονούσι, σε Κόρη εις αιώνας.
Και νυν και αεί και εις τους αιώνας των αιώνων.

Ιλαρωτάτη, και αγαθή διαθέσει, ασφαλίζεις παντοίων εκ κινδύνων, τους υπερυψούντας, σε μόνη Θεοτόκε.

**Ωδή θ΄. Κυρίως Θεοτόκον.**

Αγία του Θεού πρέσβευε υπέρ ημών.
Αιμάτων σου εκχύσεις, κάλλος παρθενίας, και ακλινείς μεσιτείαί σου Πάνσεμνε, αποκαθαίρουσι πάθη, πληγάς και τραύματα.
Αγία του Θεού πρέσβευε υπέρ ημών.
Αμόλυντον νυμφώνα, Κόρη εκληρώσω, εις ουρανίους θαλάμους χορεύουσα, τους ευσεβώς σε τιμώντας επιβραβεύουσα.
Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.
Ροαίς των σων αιμάτων, μύροις δε λειψάνων, εν επικλήσει σεπτού σου ονόματος, Αναστασία πηγάζεις, άφθιτα νάματα.
Και νυν και αεί και εις τους αιώνας των αιώνων.
Τρυφή πιστών Παρθένε, δόξα συ Μαρτύρων, Ιεραρχών το σεπτόν εγκαλλώπισμα, Αθωνιτών δε Πατέρων στερρόν προτείχισμα.

**Το Άξιόν εστι και τα παρόντα Μεγαλυνάρια.**

Όνυχας, οδόντας τε και μαστούς, χείρας τε και πόδας, εκκοπείσα ανηλεώς, όνυξιν εξέσθης, πυρί καταφλεχθείσα, Αναστασία μάρτυς οσιοπάρθενε.
Δόξης ακήρατου κατατρυφάν, κατηξιωμένη, εν ταις άνω διαμοναίς, πρόσδεξαι δεήσεις, λαού ημαρτηκότος, και σαις πρεσβείαις ρύσαι, πάντας κολάσεως.
Τρεις λαμπρούς στεφάνους απολαβείν, Μάκαρ ηξιώθης, εκ χειρός του Δημιουργού τον της παρθενίας, και τον του μαρτυρίου, τον της υπακοής δε, εν τη ασκήσει σου.
Άφθονα Ιάματα παρασχείν, νυν μη κατοκνήσης, μηδέ πέμψης ημάς κενούς• ώ Αναστασία, το δύνασθαι γαρ έχεις, ως φέρουσα την χάριν του Παντοκράτορας.
Ζη η ση ψυχή εν χειρί Θεού, άνευθεν βασάνων, εν ειρήνη διηνεκεί χαίρει δε πλουτούσα, Μονή του Γρηγορίου, τα θεία λείψανα σου, κόσμον ως άφθαρτον.

Έλαιον αγάπης παρθενικής, νήψεως εν πάσι, εγρηγόρσεως μυστικής, έσχες εν λαμπάδι, τη ση Αναστασία, διο νυν εμβατεύεις εις τα ουράνια.
Έλαιον επίσταξον επ΄ έμέ, τον κεναίς απάταις, δουλωθέντα και ηδοναίς, φώτισον τον νουν μου, ψυχήν τε και καρδίαν, χριόμενα ελαίω αγαλλιάσεως.
Δίδαξόν με Μάρτυς επιτελείν, την αγιωσύνην, εν τω φόβω τω προς Θεόν, και τη ση πρεσβεία καθήλωσον τας σάρκας, και προς τον Ιησούν μου, στρέψον την έφεσιν.

Ως απολαβούσα δόξης τρισσώς, το λογιστικόν μου, συν τω επιθυμητικώ, και θυμοειδεί μου καταύγασαν φωτί σου, και της θεώσεώς με ποίησον άξιον.
Πάσαι των αγγέλων αι στρατιαί, Πρόδρομε Κυρίου, Αποστόλων η δωδεκάς, οι Άγιοι Πάντες, μετά της Θεοτόκου, ποιήσατε πρεσβείαν εις το σωθήναι ημάς.

*Παρακλητικός Κανών Αγίας Αναστασίας της Ρωμαίας συνέχεια…*

**Το Τρισάγιον**

Άγιος ο Θεός, Άγιος Ισχυρός, Άγιος Αθάνατος ελέησον ημάς. (τρεις φορές)
Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.
Και νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.
Παναγία τριας, ελέησον ημάς. Κύριε ιλάσθητι ταις αμαρτίαις ημών. Δέσποτα, συγχώρισον τας ανομίας ημίν. Άγιε, επισκεψε και ίασαι τας ασθενείας ημών, ένεκεν του ονόματός σου.
Κύριε ελέησον, Κύριε ελέησον, Κύριε ελέησον.
Δόξα Πατρί και Υιώ και Αγίω Πνεύματι.
Και νυν και αεί και εις τους αιώνας των αιώνων. Αμήν.
Πάτερ ημών, ο εν τοις ουρανοίς, αγιασθήτω το όνομά Σου, ελθέτω η βασιλεία Σου, γεννηθήτω το θέλημά Σου ως εν ουρανό και επί της γης. Τον άρτον ημών τον επιούσιον δος ημίν σήμερον, και άφες ημίν τα οφειλήματα ημών, ως και ημείς αφίεμεν τοις οφειλέταις ημών, και μη εισενέγκης ημάς εις πειρασμόν αλλά ρύσαι ημάς από του πονηρού.

**Είτα το παρόν Απολυτίκιον. Ήχος γ΄. Την ωραιότητα.**

Την οσιόαθλον και καλλιπάρθενον, Ρώμης το βλάστημα, και μέγα καύχημα, της αναστάσεως Χριστού, αξίως την επώνυμον, δεύτε ευφημήσωμεν, Αναστασίαν την πάνσεμνον, βρύει γαρ ιάσεων, ακεσώδυνα φάρμακα, τοις των λειψάνων αυτής την θήκην, προσπτυσσομένοις μετά πίστεως.

**Ο Ιερεύς ως έθος μνημονεύει. Εις την απόλυσιν ψάλλομεν το παρόν Προσόμοιον Ήχος β΄.**
**Ότε εκ του ξύλου σε νεκρόν.**

Πάντες οι εν νόσοις χαλεπαίς, και ταις τρικυμίαις του βίου, εκταρασσόμενοι νυν, δεύτε δη προσδράμωμεν και προσκυνήσωμεν, την εικόνα την πάντιμον, της Αναστασίας, ταύτην ικετεύοντες εν κατανύξει πολλή• σπεύσον, εξεγέρθητι όπως πάντας εκ παθών αναστήσης, Μάρτυς Αναστάσεως φερώνυμε.

Ήχος πλ. δ .
Δέσποινα προσδεξαι, τας δεήσεις των δούλων σου, και λύτρωσαι ημάς, από πάσης ανάγκης και θλίψεως.

Ήχος β .
Την πάσαν ελπίδα μου, εις σε ανατίθημι, Μήτερ του Θεού, φύλαξον με υπό την σκέπην σου.

Ο Ιερεύς: Δι’ ευχών των αγίων πατέρων ημών, Κύριε Ιησού Χριστέ ο Θεός, ελέησον και σώσον ημάς. Αμήν.